# Παρακλητικός Κανών εις τους Ισαποστόλους Βασιλείς Κωσταντίνου και Ελένης




*Με πατρική αγάπη & Ευλογίες*
*eulogies.gr/parakliseis*

**Μέγας Κωνσταντίνος**: Ρωμαίος αυτοκράτορας (272–337 μ.Χ.). Υπέγραψε το Διάταγμα των Μεδιολάνων (313 μ.Χ.) για την ανεξιθρησκία και μετέφερε την πρωτεύουσα στην Κωνσταντινούπολη.

**Αγία Ελένη**: Η μητέρα του Μεγάλου Κωνσταντίνου. Ταξίδεψε στα Ιεροσόλυμα, όπου βρήκε τον Τίμιο Σταυρό και έχτισε τους πρώτους μεγάλους χριστιανικούς ναούς.

**Ισαπόστολοι**: Ονομάστηκαν έτσι επειδή το έργο τους για τη διάδοση του Χριστιανισμού θεωρήθηκε ισάξιο με το έργο των Αποστόλων

Ο Κωνσταντίνος (272-337) βασίλεψε από το 306 έως τον θάνατό του. Με το διάταγμά του περί ανεξιθρησκείας (313) έπαψε τους διωγμούς κατά των χριστιανών, βοηθώντας έτσι την ακώλυτη άσκηση της λατρείας και την εξάπλωση της νέας θρησκείας. Το 325 συνεκάλεσε την Α΄ Οικουμενική Σύνοδο στη Νίκαια της Μικράς Ασίας και την προσφώνησε αυτοπροσώπως. Η σύνοδος αυτή είναι βασική στην πορεία του Χριστιανισμού, αφού καταδίκασε την αίρεση του Αρειανισμού και διαμόρφωσε το δόγμα του («Σύμβολο της Πίστεως»). Λίγο πριν από τον θάνατό του βαπτίστηκε χριστιανός.

Η Ρωμαιοκαθολική Εκκλησία δεν έχει εντάξει στο Αγιολόγιό της τον Μέγα Κωνσταντίνο, επειδή η ιστορική έρευνα του χρεώνει τη διαταγή για τη δολοφονία του γιου του Κρίσπου (από την πρώτη του γυναίκα Μινερβίνη) και της δεύτερης γυναίκας του Φαύστας (Κρίσπος και Φαύστα πρέπει να είχαν ερωτική σχέση, σύμφωνα με νεώτερα ιστορικά δεδομένα).

Η βασιλομήτωρ Ελένη (246/250 - 327/330) βρήκε τον Τίμιο Σταυρό στους Αγίους Τόπους και χρηματοδότησε την ανέγερση χριστιανικών ναών σε πολλά μέρη της αυτοκρατορίας.

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τὸν

**ΡΜΒ΄ (142) Ψαλμόν.**

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου, ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ’ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ’ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μου τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοί ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου· ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου· τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με, ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμι.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τὸ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Εἶτα τὰ Τροπάρια·

Ἦχος δ’ .Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.
Τοὺς Ὀρθοδόξων Βασιλέων προστάτας, οἱ συνεχόμενοι δεινοῖς ἀνυποίστοις, ἐκλιπαροῦντες κράξωμεν ἐκ βάθους ψυχῆς· Κωνσταντῖνε μέγιστε, καὶ θεόφρον Ἑλένη, λιταῖς ὑμῶν, Θεόσεπτοι, πάσης ῥύσασθε βλάβης, καὶ ἐκ δεινῶν λυτρώσασθε ἡμᾶς, ὡς πρεσβευταὶ ἀεὶ ἡμῶν, θερμότατοι.

Δόξα. Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ψαλμὸς Ν΄(50)

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ’ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ· τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ὠδὴ α΄ . Ἦχος πλ. δ΄ . Ὑγρὰν διοδεύσας.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***

Κύριε τῆς δόξης καὶ Βασιλεῦ, τῆς κυριευούσης, ἀσθενείας με χαλεπῆς, τῶν σεπτῶν Ἀνάκτων ἱκεσίαις, τὸν σὸν οἰκέτην εὐσπλάγχνως ἀπάλλαξον.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***

Ὡς ὄντως ἐγένου σὺ ἐραστής, Κωνσταντῖνε μέγα, Βασιλείας τῶν Οὐρανῶν, οὕτω

τὸν σὸν δοῦλον βασιλεύειν, κατὰ παθῶν καὶ δαιμόνων ἀξίωσον.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***
Νοός μου τὸ σκότος ταῖς σαῖς εὐχαῖς, Ἑλένη θεόφρον, καταλάμπρυνον ταῖς φαιδραῖς, ἃς ἀπολαμβάνεις ἀενάως, θεαρχικὰς οὐρανίας λαμπρότητας.

**Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν**
Σὺ ὄντως τῆς θείας Ἀνατολῆς, ὑπάρχουσα πύλη, πύλας ἄνοιξόν μοι Ἁγνή, μετανοίας ἀληθοῦς καὶ ἐκ πυλῶν με, τῆς ἁμαρτίας λιταῖς σου ἐξάρπασον.

Ὠδὴ γ΄. Οὐρανίας αψίδος.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Τυχεῖν σπεύσας ἐνθέων, ἀνταμοιβῶν, Πάνσεπτε, πλάνην σὺ κατέλιπες καὶ σκότος πατροπαράδοτον, κἀμὲ οὖν δέομαι, δαιμονικῆς σαῖς πρεσβείαις, πλάνης σκοτιζούσης μου τὸν νοῦν ἀπάλλαξον.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Ἀπὸ πάσης ἀνάγκης, καὶ τῶν δεινῶν λύτρωσαι, ἅπαντας τοὺς πίστει Ἑλένη, σοὶ καταφεύγοντας, ταῖς ἱκεσίαις σου, πρὸς τὸν τεχθέντα ἀφράστως, καὶ Σταυρὸν καὶ θάνατον, καθυπομείναντα.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***
Ναὸν θεῖον, Ἑλένη, ἐν τῇ Σιὼν κτίσασα, καὶ τὸ ἀρραγὲς Χριστιανῶν, θεῖον τρόπαιον, σὺ φανερώσασα, ὑπὲρ τῶν ἐκδυσώπει, ἀρραγῆ καὶ ἄτρεπτον, τὴν πίστιν τηρήσασθαι.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***
Τὸν βυθῷ ἁμαρτίας, διηνεκῶς κείμενον, δοῦλόν σου Παρθένε, ὡς εὔσπλαγχνος, σὺ ἐξέγειρον, σῶσόν με οἴκτειρον, σὺ γὰρ λιμὴν τῶν ἐν ζάλῃ, καὶ τῶν πεπτωκότων, θεία ἀντίληψις.

Ὠδὴ δ΄ . Εἰσακήκοα Κύριε.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Ἱλασμὸν καὶ συγχώρησιν, τὸν Παμβασιλέα Θεὸν ἱκέτευε, τῶν πταισμάτων μοι δωρήσασθαι, Κωνσταντῖνε Μέδων ἁγιώτατε.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν***
Νῦν ἀνάκτων τὸ καύχημα, θεῖε Κωνσταντῖνε, φωτὶ παρίστασαι, τῆς Τριάδος τὰς

ψυχὰς ἡμῶν, καταλάμπων θείαις ἱκεσίαις σου.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***
Ὄντως Μέδων παμπόθητε, σὺ τῶν Ὀρθοδόξων εἶ τὸ κραταίωμα, τῶν πτωχῶν μέγας ὑπέρμαχος, καὶ τῶν αἰχμαλώτων ἡ ἀνάῤῥυσις.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***
Νῦν ψυχήν μου Πανάχραντε, τὴν ἐσκοτισμένην τοῖς παραπτώμασι, ὡς Θεὸν σαρκὶ κυήσασα, φωτὶ Οὐρανίῳ καταλάμπρυνον.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Ἔλαβες, Σεπτέ, ἐκ Θεοῦ σοφίαν ἄμετρον, καὶ τοῦ Σολομῶντος τὴν φρόνησιν, διὸ σοφία λιταῖς σου, θεία με καταγλάισον.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Λάμπρυνον στολήν, τῆς ψυχῆς μου, Ἰσαπόστολε, ἣν παθῶν κηλῖσιν ἠμαύρωσα, καὶ εἰς νυμφῶνα, τοῦ Ὑψίστου με εἰσάγαγε.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***
Ἔφερες εἰς φῶς, τὸν κρυπτόμενον ἐν ἔτεσι, πλείστοις τοῦ Σωτῆρος τάφον τὸν Ἅγιον, ὃν προσκυνῆσαι, ὢ Ἑλένη με ἀξίωσον.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***
Νέφη τῶν παθῶν, ἀποσόβησον, Πανάχραντε, ὡς φωτὸς νεφέλη ὑπάρχουσα, ἐκ τῆς ψυχῆς μου, καὶ σῇ αἴγλῃ με καταύγασον.

Ὠδὴ στ΄ . Τὴν δέησιν ἐκχεῶ.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Ἤθροισας, Κωνσταντῖνε θεόφρον, ἐν Συνόδῳ τὸν χορὸν τῶν Πατέρων, καὶ δι’ αὐτῶν τὰς καρδίας ἁπάντων, πίστεως θείας, τοῖς νόμοις ἐστήριξας, ἀξίωσον οὖν καὶ ἡμᾶς, τοῦ φυλάττειν τὴν πίστιν ἀμόλυντον.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Νοῦν σου, θεόφρον, εἰς τὸν Πλάστην στηρίξας, τὸν τοῖς πᾶσι παρέχοντα τὸν βίον, εἰδωλικῆς καὶ ματαίου θρησκείας, ἀπεσκοράκισας ὅλως σεβάσματα, εὔχου δὲ καὶ ὑπὲρ ἡμῶν, ἀκλινεῖς ἐν τῇ πίστει φυλάττεσθαι.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***
Ἄφθορον πολιτείαν ποθοῦσα, τὴν Θεόσδοτον ἠσπάσθης θρησκείαν, τῷ Βασιλεῖ δὲ τῶν αἰώνων Ἑλένη, ὑποταχθεῖσα χορεύεις αἰώνια, πρεσβεύουσα ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἐκτελούντων τὴν Μνήμην σου.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***
Νηχέται, πανακήρατε Κόρη, ἡ πανάθλιος ψυχή μου κακίαις, διὸ λουτρῷ μετανοίας τελείας, καὶ τοῖς κρουνοῖς τῶν δακρύων καθάρισον, καὶ σῶσόν με τὸν δυστυχῆ, ἐπὶ σὲ ἀδιστάκτως προστρέχοντα.

**Ἐκ θλίψεων** καὶ ἐκ παντοίων κινδύνων καὶ νόσων, Ἰσαπόστολοι θεῖοι, ῥύσασθε ἡμᾶς τοὺς πιστῶς, γεραίροντας, λιταῖς ὑμῶν πρὸς Θεὸν ταῖς ἐνθέρμοις.

**Ἐπίβλεψον**, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος γ΄.

**Κωνσταντῖνος σήμερον, σὺν τῇ Μητρὶ τῇ Ἑλένῃ, τὸν Σταυρὸν ἐμφαίνουσι, τὸ πανσεβάσμιον Ξύλον, πάντων μὲν τῶν Ἰουδαίων, αἰσχύνην ὄντα, ὅπλον δέ, πιστῶν Ἀνάκτων κατ' εναντίων, δι' ἡμᾶς γὰρ ἀνεδείχθη, σημεῖον μέγα, καὶ ἐν πολέμοις φρικτόν.**

Καὶ εὐθύς τὸ Προκείμενον.
Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν.

Στίχος. Ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.

Εὐαγγέλιον.
**Ἐκ τοῦ κατὰ Ματθαῖον**.
(Κεφ ιστ΄ . 13 -19 ).
**Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; Οἱ δὲ εἶπον· οἱ μὲν Ἰωάννην τὸν βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἕτεροι δὲ Ἱερεμίαν ἢ ἕνα τῶν προφητῶν. Λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγεται εἶναι; Ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπε· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ· μακάριος εἶ, Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ᾽ ὁ πατήρ μου ὁ ἐν**

**τοῖς οὐρανοῖς. Κἀγὼ δέ σοι λέγω ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς, καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.**

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***
Ταῖς  τῶν Θεοσέπτων πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχος. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Προσόμοιον.
Ἦχος πλ. β΄. Μεταβολῇ τῶν θλιβομένων.

Μεταβολῇ τῶν αἰχμαλώτων, ἀνόρθωσιν τῶν πεπτωκότων ὑπάρχοντες, Βασιλεῖς θεοφόροι, σώσατε Πόλιν καὶ Λαόν, τῶν πολεμουμένων οἱ προστάται, καὶ ἀνορθωταὶ τυραννουμένων, ταῖς θείαις ἡμῶν ἐντεύξεσι.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου…**

Ὠδὴ ζ΄ . Παῖδες Ἑβραίων.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Ἄναξ, τὸ κλέος ἀνεδείχθης, τῶν Ἀνάκτων σκηνώματα δ᾽ Ἀγγέλων, κατοικῶν τῶν πιστῶς ἡμῶν σε ἀνυμνούντων, τὸ κοσμικὸν κλυδώνιον, καταπράυνον λιταῖς σου.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Κύριος στέφανον, ὦ Ἄναξ, ἀπονέμει σοι γενναίως καθελόντι, τῶν εἰδώλων βωμούς, καὶ πάντας τοὺς ἀνθρώπους, εἰς πίστιν ὁδηγήσαντι, τὴν ὀρθὴν καὶ παναγίαν.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***
Τίς διηγήσεται, Ἑλένη, οὓς ὑπέστης θεοφιλεῖς ἀγῶνας, ὑπὲρ Πίστεως, ἣν ἠγάπησας, θεόφρον· ἐν ταύτῃ οὖν στερέωσον, σαῖς λιταῖς τοὺς σοὺς οἰκέτας.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***
Ἄχραντέ Κόρη, ἁμαρτάνων, καὶ δουλούμενος ἀτόποις συνηθείαις, τῇ σεπτῇ σου ἀεί, προστρέχω συμπαθείᾳ, ἀπηλπισμένον σῶσόν με, μητρικαῖς σου ἱκεσίαις.

Ὠδὴ η΄ . Τὸν Βασιλέα.
***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Σοὶ Κωνσταντῖνε, καταφεύγων ὁ τάλας, ἀνακούφισιν ἀπολαβεῖν ἐλπίζω, τῶν κακῶν ὧν πάσχω, ταῖς θείαις σου πρεσβείαις.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Γραπτοὺς τοὺς ὕμνους, εὐλαβῶς σοι προσφέρω, ἱκετεύων, ὦ Ἄναξ, ὅπως σώσῃς, ἐκ τῶν ἐνοχλούντων, ἐχθρῶν με σαῖς πρεσβείαις.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***
Εὐσεβοφρόνως, οἱ φιλέορτοι δεῦτε, προσπελάσωμεν Ἑλένῃ τῇ θείᾳ, ὅπως νοσημάτων, ῥυσθῶμεν καὶ κινδύνων.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.***
Ῥανίδα στάξον, θείας γνώσεως, Κόρη, ἐκ τῶν ἄνω μοι ὡς τάξας σοφίας, χορηγὸν τὸν θεῖον, καὶ φώτισον τὸν νοῦν μου.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Ἁγίως τὴν ζωήν μου, τελέσας, Κωνσταντῖνε, σὺν τοῖς Ἁγίοις οἰκεῖν κατηξίωσαι, ὑπὲρ ἡμῶν ἱκετεύων, τὸν Παντοκράτορα.

***Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.***
Ἰάματα παντοία, βλύζει ἡ Εἰκών σου, καὶ ἀπελαύνει τυράννων φρυάγματα, ὦ Κωνσταντῖνε, διὸ σε πίστει γεραίρομεν.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι,***
Ῥῦσαι ἐκ κινδύνων, πάντας, ὦ Ἑλένη, τοὺς μετὰ πίστεως σοὶ προστρέχοντας, καὶ ἐκ τῶν νόσων ἀπάλλαξον, ταῖς πρεσβείαις σου.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***
Ὦ Θεοτόκε Κόρη, πυρὸς αἰωνίου, τοὺς προσκυνοῦντας τὸν Τόκον σου, λύτρωσαι, σὺ γὰρ ἡμῶν εἶ προστάτις, τῶν ἀνυμνούντων σε.

**Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.**

**Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σε μεγαλύνομεν.**

*Καὶ τὰ παρόντα Μεγαλυνάρια,*

**Τὸν μέγαν Κωνσταντῖνον σὺν τῇ μητρί, Ἑλένη τῇ θείᾳ, τοὺς προστάτας τῶν εὐσεβῶν, καὶ ἀσείστους βάσεις, τῆς εὐσεβοῦς θρησκείας, εὐφήμως κατ’ ἀξίαν ἀνευφημήσωμεν.**
**Δώρησαι, Θεόστεπτε Βασιλεῦ, τοῖς Μνήμην τελοῦσι, τὴν ἁγίαν σου σαῖς λιταῖς, ἄφεσιν πταισμάτων, καὶ τῶν δεινῶν τὴν λύσιν, ὡς ἔχων παῤῥησίαν πρὸς τὸν φιλάνθρωπον.**

**Ὀρφανῶν ὑπέρμαχον καὶ πτωχῶν, θησαυρόν σε μέγαν, ἀπορούντων τε φροντιστήν, αἰχμαλώτων ῥύστην, καὶ ταπεινῶν προστάτην, εἰδότες σε τιμῶμεν, ὦ Ἰσαπόστολε.**

**Πλήρης γενομένη ἁγιασμοῦ, Ἑλένη θεόφρον, ἰαμάτων βλύζεις κρουνούς, δι’ ὧν ἀποπλύνεις, δυσώδεις ἀσθενείας, τῶν σε ἀνευφημούντων, ταῖς ἱκεσίαις σου.**

**Πάντες σε τιμῶμεν χρεωστικῶς, θεῖε Κωνσταντῖνε, ὡς ἀνάκτων θεοσεβῶν, πρῶτον καὶ κρηπῖδα, τῆς πίστεως τῆς θείας, σὺν τῇ Μητρὶ Ἑλένῃ, ὕμνοις γεραίροντες.**

**Ἴλεος γενοῦ μοι τῷ ταπεινῷ, ὅτι πλὴν σου ἄλλην, οὐ γινώσκω καταφυγήν, ὁ ἐν ἁμαρτίαις παντοίαις πεπλησμένος, ἐλέησον με μόνη, Χριστιανῶν ἡ ἐλπίς.**

**Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.**

## Τὸ Τρισάγιον

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι,
καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

**Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι,**
**καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

***Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.***

Καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι,*
Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν*
Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσομεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων, σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Καὶ τὸ Τροπάριον Ἦχος δ΄ .

**Τοῦ Σταυροῦ σου τὸν τύπον, ἐν Οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν, οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ ἐν Βασιλεῦσιν Ἀπόστολος σου, Κύριε, Βασιλεύουσαν Πόλιν, τῇ χειρί σου παρέθετο, ἣν περίσωζε διὰ παντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.**

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὰ ἑξῆς·

Ἦχος β΄ . Ὅτε ἐκ τοῦ ξύλου.

**Δεῦτε ἀνυμνήσωμεν πιστοί, τοὺς τῶν εὐσεβῶν βασιλέων, προστάτας δεῦτε φαιδρῶς, τούτους εὐφημήσωμεν, ἀναβοῶντες αὐτοῖς· Κωνσταντῖνε θεόσεπτε, θεόφρον Ἑλένη, παύσατε δεόμεθα, κακῶν τὴν πρόοδον, θλίψεων πραΰνατε σάλον, καὶ τοῖς αἰχμαλώτοις τὴν ῥύσιν, ταῖς λιταῖς ἡμῶν νῦν χορηγήσατε.**

**Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.**

**Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι· Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.**

**Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,**
**Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.**
**Ἀμήν.**




